βάρος ἔχοντα ἐπιπολάζουσι τῷ ὕδατι καὶ οὐ καταδύονται. Τὰ δὲ σφαιρικὰ ἢ μακρά, ὡς ἡ βελόνη, καὶ ὀλίγον ἔχοντα βάρους καταδύονται, ὡς τὰ ψήγματα ἐπιπλεῖ καὶ τὰ κονιορτώδη ἐπιπολάζει τῷ ἀέρι· αἴτιον δέ, ὅτι ἡ ἐκ τοῦ ὕδατος ἀναφερομένη θερμὴ ἀναπνοὴ ἀνακωχεύει τὰ πλάτος ἔχοντα ὡς ἀντιτυποῦντα διὰ τὸ πλάτος· τὰ δὲ μὴ ἔχοντα πλάτος οὐ δύναται ἀνακωχεύειν, θᾶττον φερόμενα καὶ μὴ ἀντιτυποῦντα τῇ ἀναπνοῇ. Τοῦτο δὲ ἐπὶ τοῦ ἀέρος οὐ γίνεται, ὁμοίως καὶ ἐπὶ τοῦ ὕδατος διὰ τὸ λεπτομερέστερον καὶ διαλελυμένον τῶν αὐτοῦ ἀέρος ἀναφορῶν. Καθόλου δὲ τὰ μὲν μᾶλλον διαιρετικὰ καταδύονται, τὰ δὲ ἧττον διαιρετικὰ ἐπιπολάζουσιν, ὅπερ ἢ ἐκ τῆς διαθέσεως τῆς ὑλικῆς συμβαίνει, ἢ ἐκ τοῦ σχήματος. Ψήγματα μὲν γὰρ καὶ τὰ κονιορτώδη ὡς μὴ πυκνότητα ἔχοντα οὐ διαιροῦσι πάνυ τὸ ὕδωρ, ἢ τὸν ἀέρα· τὰ δὲ πλάτος | ἔχοντα ὡς πολὺ f. 205v τοῦ ὑποκειμένου σώματος ἐπιλαμβάνοντα. Καὶ τῶν ὑποκειμένων δὲ τὰ μὲν εὐπαθέστερα καὶ διασπώμενα μᾶλλον, καὶ διὰ τοῦτο μᾶλλον ὑποχωρεῖ τοῖς διαιροῦσι· τὰ δὲ ἔκ τινος πάθους παχύτερα ὄντα μᾶλλον ἀντέχουσιν:

# III.

# Annotations sur les trois livres du „de anima“.

## Sur le livre I.

### ΣΗΜΕΙΩΣΕΙΣ ΕΚ ΤΩΝ ΠΕΡΙ ΨΥΧΗΣ ΒΙΒΛΙΩΝ ΤΡΙΩΝ.

### Ἐκ τοῦ πρώτου.

Ὅτι πᾶσα γνῶσις ἐπιστημονικὴ τιμία· Ἔστι δὲ ἄλλη ἄλλης βελτίων ἢ διὰ τὸ εἶναι ἀκριβεστέρα, ὡς γεωμετρία ἰατρικῆς, ἢ τῷ εἶναι περὶ τιμιώτερον ὑποκείμενον, ὡς ἀστρονομία γεωμετρίας. Κατ' ἄμφω δὲ ἡ περὶ ψυχῆς πραγματεία καλὴ καὶ τιμία καὶ βελτίων ἢ κατὰ πολλάς· τὸ μὲν γὰρ ὑποκείμενον αὐτῆς ἄϋλον, ᾧ καὶ νοῦς συνουσίωται· ἡ δὲ θεωρία ἀκολούθως ἀκριβεστέρα διὰ τὴν τοῦ ὑποκειμένου ἀϋλίαν καὶ βεβαιότητα.

Ὅτι πρὸς πλεῖστα συμβάλλεται ἡ περὶ ψυχῆς θεωρία· πρὸς τὴν θεολογικὴν ἐπιστήμην καὶ πρὸς ἠθικὴν καὶ πρὸς τὴν φυσικὴν μάλιστα, ὅτι πολὺ τὸ αἰτιῶδες καὶ ἀρχικὸν τῇ ψυχῇ πρόσεστι πρός γε τὸ σῶμα· διὸ καὶ τῶν χαλεπωτάτων ἐστὶν ἡ περὶ αὐτῆς ἐπιστήμη καὶ τὸ τί ἐστιν αὐτῆς γνῶναι διά τε τὴν τοῦ ὁρίζεσθαι δυσχέρειαν πανταχοῦ καὶ ἰδίως περὶ αὐτῆς, πολλῶν τε ἰδίων περὶ αὐτὴν ζητουμένων καὶ θεωρουμένων καὶ πλειόνων τῶν πρὸς τὸ σῶμα κοινῶν· τὸ γὰρ αἰσθάνεσθαι καὶ θυμεῖσθαι καὶ ὀρέγεσθαι καὶ πρὸς τὸ σύνθετον ἀνήκει· τὸ δὲ νοεῖν καὶ λογίζεσθαι ἰδίως ἐστὶ τῆς ψυχῆς.

Ὅτι δεῖ προὔργου ζητεῖν περὶ ψυχῆς ὑπὸ ποῖον γένος ἀνάγεται. Οἳ μὲν γὰρ οὐσίαν αὐτὴν τιθέασιν, ὡς Ξενοκράτης· οἳ δὲ ποσόν, οἳ δὲ πρὸς

ΙΩΑΝΝΙΝΑ 2006

τι, οἳ δὲ κρᾶσιν. Ἔτι, πότερον δυνάμει ἐστίν, ἢ ἐντελεχείᾳ. Ἔτι, πότερον μεριστή, ἢ ἀμερής· καὶ εἰ μεριστή, πότερον ὄγκοις, ἢ δυνάμεσι μόναις· καὶ πότερον ὁμοειδεῖς εἰσιν αἱ τῶν ζῴων πάντων ψυχαί, ἢ μή· καὶ εἰ μὴ ὁμοειδεῖς, ὑπὸ τὸ αὐτὸ γοῦν γένος εἰσίν, ἢ οὐδὲ τοῦτο· καὶ πότερον μία τίς ἐστιν ἐν ἑκάστῳ ψυχὴ κατὰ διαφόρους δυνάμεις θεωρουμένη, ἢ πολλαί εἰσιν ἐν ἑκάστῳ, καὶ μάλιστα τῶν τελειοτέρων. Ἔτι, εἰ διαφόρους ἔχει δυνάμεις, ἢ μίαν, πῶς ἔστι χωρίζειν ταύτας ἐν ἑνὶ ὑποκειμένῳ, καὶ πότερον ἀπὸ τοῦ ὅλου ἀρκτέον τῆς περὶ αὐτῶν θεωρίας, ἢ καὶ ἀπὸ τῶν μορίων μᾶλλον· καὶ πότερον αὐτὰ δεῖ σκοπεῖν πρῶτον τὰ μόρια, ἢ τὰς ἐνεργείας αὐτῶν· καὶ πότερον τὰς ἐνεργείας αὐτὰς πρότερον, ἢ τὰ αὐταῖς ἀντικείμενα.

Ὅτι ἐκ τοῦ ὁρισμοῦ καλῶς ἀποδιδομένου καὶ τὰ καθ' αὑτὸ συμβεβη-
f. 206 κότα τῷ ὁρισμῷ ῥᾴδιον ἐπιλογίζεσθαι· εἰ δὲ ἄλλως ἔχει, ὁ ὁρισμὸς | ἔνδοξος μᾶλλόν ἐστι καὶ διαλεκτικός, οὐκ ἀσφαλὴς οὐδὲ ἀποδείξει πρέπων.

Ὅτι τὰ πλείω τῶν τῆς ψυχῆς παθῶν οὐκ αὐτῆς μονῆς εἰσιν, ἀλλὰ τοῦ συνθέτου ζῴου, οἷον τὸ ἥδεσθαι, τὸ ὀργίζεσθαι, τὸ θαρρεῖν, τὸ ἐπιθυμεῖν, ὅλως τὸ αἰσθάνεσθαι· ἴδιον δὲ αὐτῆς τὸ νοεῖν ἐν τῇ τοιαύτῃ ψυχῇ, καὶ αὐτὸ οὐκ ἄνευ φαντασίας προηγουμένης, ἥτις ἐκ τῆς αἰσθήσεως γίνεται, εἰ καὶ μὴ πάσῃ νοήσει συνῆπται ἡ φαντασία, ἀλλ' ἔστι καὶ νόησίς τις ἰδία μόνης τῆς ψυχῆς.

Ὅτι εἴπερ εἰσὶν ἔργα τινὰ τῆς ψυχῆς ἴδια, ἐνδέχεται καὶ χωρίζεσθαι τοῦ σώματος αὐτήν, καὶ εἰ μή, εἰσίν, οὐκ ἐνδέχεται, ἀλλ' ἔσται ὡς τὸ τῆς χαλκῆς σφαίρας ἁπτόμενον εὐθύ· εἰ γὰρ χωριστὸν ἦν, οὐδ' ἂν ἥπτετο αὐτῆς.

Ὅτι θυμός, πραότης, φόβος, ἔλεος, θάρσος, τὸ φιλεῖν, τὸ μισεῖν καὶ τὰ τοιαῦτα παθῆ ἀχώριστα τοῦ σώματος, καὶ πάσχει τι ἐν τούτοις τὸ σῶμα, καὶ τῇ τοιᾷδε κράσει τοῦ σώματος ἐπακολουθοῦν ἢ σφοδρότερον, ἢ ἀμυδρότερον· ἐνίοτε γάρ, καὶ μηδενὸς ὄντος φοβεροῦ, φόβος ἐγγίνεται καὶ ἀκρασία, ὡς τοῖς μελαγχολῶσιν· ὅθεν καὶ τὸ σῶμα τοῖς ὁρισμοῖς ἐμπεριλαμβάνεται αὐτῶν, οἷον θυμός ἐστιν ὄρεξις ἀντιλυπήσεως, ζέοντος τοῦ περὶ τὴν καρδίαν αἵματος, καὶ οὗτος ὁ ὁρισμὸς ἔχει μὲν ὡς εἶδος τὸν λόγον τοῦ πάθους, ὡς δὲ ὕλην τὴν ἐκ τοῦ σώματος αἰτίαν, τὴν ζέσιν δηλονότι τοῦ αἵματος· καὶ τούτῳ διαφέρει ὁ διαλεκτικὸς ὁρισμὸς τοῦ φυσικοῦ, ὅτι ὃ μὲν ἐκ τοῦ λόγου τοῦ εἴδους μόνον, ὁ διαλεκτικός· ὃ δὲ ἐκ τῆς ὕλης. Ἔστι δὲ κυριώτερος ὁ ἐξ ἀμφοῖν σύνθετος· τῶν γὰρ ὄντων τὰ μὲν τῆς ὕλης οὐδέποτε χωριζόμενα, ὡς τὰ φυσικά· τὰ δὲ τῇ ὕλῃ οὐδέποτε ἑνούμενα, ὡς τὰ καθ' αὑτὰ νοητά· τὰ δὲ τῇ μὲν ὑπάρξει ἀχώριστα τῆς ὕλης, τῷ δὲ λόγῳ ἀφαιρούμενα, ὡς τὰ μαθηματικά, ὧν περὶ τὰ πρότερα φυσικὸς στρέφεται· περὶ δὲ τὰ δεύτερα ὁ πρῶτος φιλόσοφος· περὶ δὲ τὰ τρίτα ὁ μαθηματικός.

Ε.Υ.Δ της ε.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὅτι πάντες οἱ φυσικοὶ τὴν ψυχὴν ὡρίζοντο τῷ κινητικῷ, τῷ γνωστικῷ καὶ τῷ ἀσωμάτῳ· ὑπέθεντο γὰρ αὐτὴν κινεῖν μὲν τὸ σῶμα κινουμένην ὑφ' ἑαυτῆς, ὅθεν καὶ αὐτοκίνητον ἔλεγον. Καὶ οἱ μὲν περὶ Δημόκριτον καὶ Λεύκιππον τῆς πυρώδους ἔλεγον εἶναι φύσεως ἐκ τῶν σφαιρικῶν ξυσματίων συνεστηκυῖαν, ὧν εἰσιόντων καὶ ἐξιόντων ἐν τῷ ἐμψύχῳ σώματι δι' ἀναπνοῆς, κινεῖσθαί τε αὐτὴν καὶ κινεῖν τὸ ἔμψυχον σῶμα· οὗ σημεῖον ὅτι, ἐκλειπούσης τῆς ἀναπνοῆς, οὐδὲ ζῆν ἔχουσι τὰ τοιαῦτα· εἰς σχεδὸν εἰς ταὐτὸν ἥκουσι Πλάτων καὶ Ἀναξαγόρας τιθέντες πάντες τὴν ψυχὴν αὐτοκίνητον, | οὐδὲ εἰς τὸ γνωστικὸν αὐτῆς ἀποβλέψαντες, ἐκ τῶν ἀρχῶν f. 206v τῶν ὄντων αὐτὴν ἐνόμισαν συνεστάναι, ὡς ἂν ἔχει πάντων ἀντιλαμβάνεσθαι διὰ τῆς πρὸς τὰς ἀρχὰς αὐτῶν ὁμοιότητος, ὥσπερ Ἐμπεδοκλῆς ἀρχὰς πάντας τὰ τέσσαρα στοιχεῖα ὑποτιθείς, καὶ ἐπὶ τούτοις τὴν φιλίαν τε καὶ νεῖκος, τὴν μὲν ὡς συναγαγωγόν, τὸ δὲ ὡς διακριτικόν, καὶ τὴν οὐσίαν τῆς ψυχῆς ἐκ τούτων συνίστησιν· διὸ καὶ λέγει που· „Γαίῃ μὲν γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ αἰθέρεον, στοργῇ δὲ στοργήν, νεῖκος δὲ τῷ νείκει λυγρῷ“· ᾧ δοκεῖ πως καὶ Πλάτων συντιθέμενος ἐν Τιμαίῳ· κρᾶμα λέγει τὴν ψυχὴν ἐκ τῆς ἀμερίστου οὐσίας καὶ μεριστῆς, ἵν' ἐξ ἀμφοτέρων μέσως ἔχουσα, καὶ ἅπτηται ἀμφοτέρων, καὶ ἐξ ἀριθμῶν δὲ τὴν ψυχὴν συνεστάναι φησίν, ἢ κατ' ἀριθμούς, ἵνα γινώσκῃ τὰ ὄντα κατ' ἀριθμοὺς εἰδητικοὺς συνεστῶτα. Τέτταρας μὲν γὰρ ἔχει τὰς γνωστικὰς δυνάμεις· νοῦν καὶ ἐπιστήμην, δόξαν καὶ αἴσθησιν. Ἅπτεται δὲ δι' αὐτῶν τῶν γνωστῶν ἑκάστου· τῷ μὲν νῷ διὰ τὴν ἄμεσον ἀφὴν τῶν γνωστῶν· τῇ δὲ ἐπιστήμῃ καὶ δυάδι καθ' ὁμοιότητα γραμμῆς ἐκ προτέρων ἐπὶ τὸ συμπέρασμα προϊοῦσα· τῇ δὲ δόξῃ καθ' ὁμοιότητα ἐπιπέδου, ἐπαμφοτεριζούσῃ ἐπ' ἐνίων· τῇ δὲ αἰσθήσει ὡς τετράδι καθ' ὁμοιότητα τῶν στερεῶν καὶ τῶν αἰσθητῶν ἀντιλαμβανομένη τῇ γνώσει. Ἄλλοι δὲ τὸ κινητικὸν καὶ γνωστικὸν ἐν τῇ ψυχῇ συνάψαντες· ψυχή, φασίν, ἐστὶν ἀριθμὸς κινῶν ἑαυτόν, ὡς Ξενοκράτης ὁ Πλατωνικὸς διάδοχος συμφερόμενος Πυθαγορείοις. Καὶ Θαλῆς, πρὸς τὸ κινητικὸν ἀφορῶν τῆς ψυχῆς ἔμψυχον, ἔλεγε τὴν μαγνῆτιν ὡς τὸν σίδηρον ἕλκουσαν. Ἀναξιμένης δὲ καὶ Διογένης, ἀρχὴν τιθέντες τὸν ἀέρα ὡς λεπτομερῆ καὶ κινητικόν, καὶ τὴν ψυχὴν ἐντεῦθεν οὐσίουν. Ἡράκλειτος δὲ τῆς πυρώδους ἐτίθει ταύτην οὐσίας. Ἀλκμαίων δὲ ἐκ τῶν οὐρανίων σωμάτων αὐτὴν συνίστησιν. Ὁ δέ γε Ἵππων τῆς ὑδατώδους οὐσίας αὐτὴν τίθησι διὰ τὸ σπέρμα κάθυγρον ὄν, ὅπερ ἐστὶ σπερματικὴ τῶν ζῴων ἀρχή. Ὁ δὲ Κριτίας ψυχὴν ἐτίθει τὸ αἷμα, πρὸς τὸ αἰσθητικὸν ἀποβλέπων αὐτῆς, ὃ δι' αἵματος δοκεῖ μάλιστα γίνεσθαι, καίτοι τῶν ὀργάνων τῆς αἰσθήσεως τῶν κυριωτέρων ἀναίμων ὄντων, τῶν νεύρων δηλονότι, καὶ ζῴων πολλῶν ἀναίμων ὄντων, ὡς τῶν ἐντόμων. Γῆν δὲ οὐδεὶς ἐκείνων ἐτίθει τὴν ψυχὴν εἰ μὴ κατά τι μέρος, ὡς Ἐμπεδοκλῆς, ὃ

f. 207 προείρηται. Πάντες δέ, πλὴν Ἀναξαγόρου, | ἐκ τῶν ἀρχῶν τίθενται τὴν ψυχήν, εἰ καὶ διαφόρως.

Ὅτι οὐκ ἀνάγκη πᾶν τὸ κινοῦν ἕτερον καὶ αὐτὸ κινεῖσθαι· ἢ γὰρ καθ᾿ αὑτὸ κινεῖται, ἢ κατὰ συμβεβηκός. ὡς κινοῦνται μὲν οἱ τοῖς ποσὶ βαδίζοντες καθ᾿ αὑτὸ καὶ κατὰ φύσιν, οἱ δ᾿ ἐν τῷ πλοίῳ κινουμένῳ κοιμώμενοι πλωτῆρες κινοῦνται κατὰ συμβεβηκός. Τέσσαρες δὲ οἱ τρόποι τοῦ καθ᾿ αὑτό τι κινεῖσθαι· ἢ ἀλλοίωσις, ἢ φορά, ἢ αὔξησις, ἢ φθίσις. Γένεσις γὰρ καὶ φθορὰ μεταβολαί εἰσιν, οὐ κινήσεις· φορὰ δὲ καὶ αὔξησις καὶ φθίσις ἐν τόπῳ θεωροῦνται· ἀλλὰ καὶ ἡ ἀλλοίωσις, μεριστὴ οὖσα καὶ περὶ μεριστὸν ὑποκείμενον. Καθ᾿ αὑτὴν μὲν οὖν οὐκ ἂν κινοῖτο ἡ ψυχή, ἐπεὶ οὐδ᾿ ἐν τόπῳ ἐστίν, ἀσώματος οὖσα. Τὰ δὲ καθ᾿ αὑτὰ κινούμενα ἐν τόπῳ κινεῖται, ἀλλ᾿ οὐδὲ κατὰ συμβεβηκός· τὸ γὰρ κατὰ συμβεβηκὸς προϋποτίθησι τὸ κατὰ φύσιν, καὶ εἴ τι μὴ κινοῖτο καθ᾿ αὑτό πῄ ποτε, οὐδ᾿ ἂν δύναιτό ποτε κινεῖσθαι κατὰ συμβεβηκός. Τὸ πῦρ παρὰ φύσιν καὶ κατὰ συμβεβηκὸς κινηθείη ἂν κάτω, διότι πέφυκεν ἄνω κινεῖσθαι· ὁ αὐτὸς δὲ καὶ περὶ τοῦ ἠρεμεῖν λόγος. Τὸ δὲ τοιοῦτα τιθέναι περὶ ψυχῆς οὐδὲ πλάττοντας ἐνδέχεται· σώμασι γὰρ προσήκουσιν· ἡ δέ, ἀσώματος, καὶ οὔτε κουφότης, οὔτε βάρος, οὔτε τὸ μεταξὺ πρέπον ἐστὶν ὅλως αὐτῇ. Ἀλλ᾿ οὐδὲ μοχλείᾳ τινὶ συγκινεῖ τὸ σῶμα κινουμένη, οὐδὲ κατὰ μόρια, ἀμερὴς οὖσα καὶ ἀσώματος. Εἰ δὲ καὶ πᾶν τὸ κινούμενον, ὅπως ἂν κινοῖτο καὶ οἱαδήποτε κινήσει, ἐξίσταται τοῦ οὗ πρότερον ἦν, ἐξίσταιτο ἂν ἑαυτῆς καὶ ἡ ψυχὴ κινουμένη, καὶ φθείροιτο. Ἔτι, εἰ κινήσει ἡ ψυχὴ τὸ σῶμα, κινοίη ἂν κατὰ τόπον, ὥστε αὐτὴ καὶ ἠρεμεῖν ἂν ποιοίη, ὅταν ἠρεμῇ τὸ σῶμα. Εἰ οὖν κινεῖται κινοῦσα, καὶ ἠρεμοῦντος ἂν τοῦ σώματος, ἠρεμοίη. καὶ εἰ ἀεὶ κινουμένην ὑποτίθενται (τὸ γὰρ αὐτοκίνητον ἀεικίνητον εἶναι δεῖ), πῶς ἂν ἠρεμοίη; Ἦν δ᾿ ἂν εὔλογον λέγειν αὐτούς, ὡς ἡ ψυχὴ τὸ σῶμα κινεῖ, κατὰ νόησιν μὲν καὶ κρίσιν, ἡ λογική· κατὰ προαίρεσιν δὲ ἤτοι φαντασίαν καὶ ὄρεξιν, ἡ τῶν ἀλόγων.

Εἶτα ἐλέγχει καὶ τὴν ἐν Τιμαίῳ θέσιν τοῦ Πλάτωνος περὶ ψυχῆς, ὅτι κυκλικῶς κινεῖται, καὶ ὁ νοῦς. Πρὸς γὰρ τοῖς ἄλλοις ἀδυνάτοις ἃ τίθησιν ἑπόμενα, καὶ ἡ νόησις κίνησις ἄστατος ἔσται, ὅπερ οὐκ ἔστιν· ἠρεμία γὰρ μᾶλλόν ἐστιν. Διὰ τοῦτο καὶ ἐπιστήμη λέγεται ἐπίστασιν ἄγουσα καὶ ἠρεμίαν ἐμποιοῦσα ἐκ τοῦ ἀπορεῖν καὶ ζητεῖν εἶτουν κινεῖσθαι. Εἰ οὖν ἡ νόησις ἠρεμία κατὰ φύσιν ἐστίν, παρὰ φύσιν ἂν εἴη μᾶλλον τῇ
f. 207v ψυχῇ τὸ κινεῖσθαι, | ἐπειδὰν κινῆται νοοῦσα. Καὶ πῶς ἂν εἴη τὸ παρὰ φύσιν καὶ βίαιον μακαριότης, ὡς καὶ αὐτοὶ τιθέασιν τὸν νοῦν ἀεὶ κινούμενον καὶ νοοῦντα εὐδαιμονεῖν, ὅλως δὲ καὶ τὸ συμπεπλέχθαι τὸν νοῦν σώματι ἐπίπονόν τε καὶ οὐκ εὔδαιμον· οὗ τὴν ἀπόλυσιν διὰ τοῦτο ποθεῖν διόλου τὸν νοῦν καὶ αὐτοὶ τίθενται ὡς τοῦτο ὂν αὐτῷ βέλτιον. Ἀλλ᾿ ἔδει, φησίν, αὐτοὺς τὴν ψυχὴν συνάπτοντας σώματι καὶ τὰ ἄλλα

Ε.Υ.Δ. Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δι' ἀκριβείας σκοπῆσαι καὶ τὰ περὶ τοῦ σώματος διαστείλασθαι πῶς μὲν κοινωνεῖν αὐτῷ δύναται ἡ ψυχή, πῶς δὲ μή· καὶ ἐν τίσι καὶ ποίῳ σώματι, καὶ πῶς ἔχοντι δύναιτο ἂν συνάπτεσθαι. Νῦν δὲ ἀδιορίστως λέγουσιν, ὥσπερ ἂν εἴ τις τὴν τεκτονικὴν εἰς τοὺς αὐλοὺς ἐνεργεῖν φήσειεν, ἢ τὴν αὐλητικὴν εἰς τὸ σκυτορραφεῖν.

Ὅτι οἱ λέγοντες τὴν ψυχὴν ἁρμονίαν εἶναι ἁμαρτάνουσιν· ἡ γὰρ ἁρμονία ἐπιγίνεται τοῖς ἁρμοζομένοις ὡς ἕπεται· τῇ δὲ ψυχῇ τὸ πρώτην εἶναι προσήκει καὶ τὸ ἐπιστατεῖν· εἶτα κατὰ τὰς διαφόρους ἐν τοῖς σώμασι συνθέσεις καὶ αἱ ψυχαὶ διάφοροι ἂν εἶεν, καὶ ἐν ἑκάστῳ σώματι πλείους, ἤγουν ἐν ἑκάστῳ ζῴῳ.

Ὅτι εἴ τις, ἀποβλέψας εἰς τὰ πάθη, οἷον τὸ ἥδεσθαι, τὸ λυπεῖσθαι, τὸ θυμεῖσθαι, τὸ δειλιᾶν, λέγοι κινεῖσθαι τὴν ψυχὴν κατὰ ταῦτα (δοκοῦσι γὰρ ταῦτα κινήσεις τε εἶναί τινες καὶ οὐκ ἄνευ τῆς ψυχῆς εἶναι), οὐδὲ τοῦτ' ἀληθὲς οὐδ' ἀνάγκη· πρῶτον μὲν οὐκ εἰσὶ ταῦτα κινήσεις· εἰ δὲ καὶ λέγομεν τοῦτο, ἀλλ' οὐκ εἰσὶ τῆς ψυχῆς· κρίνει γὰρ ἐν αὐτοῖς μόνον· ὥστε οὐ μᾶλλον κινεῖται ἐν τούτῳ ἢ ἠρεμεῖ. Τὸ σῶμα δὲ ὡδί πως ἐν τούτοις διατίθεται καὶ κινεῖται κατά τι τῶν αὑτοῦ καὶ μεταβάλλει· ὥστε τοῦ ζῴου μὲν ἂν εἴη κίνησις ἐν τούτοις, εἴ γε ταῦτα κινήσεις διὰ ψυχῆς· οὐκ ἦν δὲ τῆς ψυχῆς αὐτῆς· κρίνει μὲν γὰρ ἡ ψυχὴ ἐν τῷ θυμῷ ὄρεξιν ἀντιλυπήσεως· κινεῖται δὲ τὸ σῶμα κατά τι μόριον, ζέοντος ἐν αὐτῷ τοῦ θερμοῦ εἴτουν τοῦ αἵματος· καὶ κρίνει μὲν αὖθις ἡ ψυχὴ τὸν φόβον· συστέλλεται δὲ τὸ θερμὸν ἐνταῦθα τοῦ σώματος, καὶ καταψύχεται καὶ ἀλλοιοῦται τὸ σῶμα. Διὰ τοῦτο γὰρ καὶ ὁ ποιητής· „χλωροί, φησίν, ὑπ' αἰδείους“· καὶ πάλιν· „Ὠχρός τέ μιν εἷλε παρειάς“. Γελοῖον δέ, εἴ τις ὠχριᾶν ἢ ζέειν λέγοι τὴν ἀσώματον ψυχήν. Ἀλλὰ ταῦτα τοῦ σώματός εἰσι, μετὰ τὴν κρίσιν τῆς ψυχῆς ὡδί πως διατιθεμένου. Καὶ μὴν καὶ αὐτὸ τὸ διανοεῖσθαι, εἴ γε κινεῖσθαι φαίη τις, οὐ μᾶλλον τῆς ψυχῆς ἂν εἴη κίνησις ἤτοι τῶν τοῦ σώματος μορίων, πνεύματος δηλονότι, ἢ ἐγκεφαλαίου, ἢ ἥπατος, ἢ ἄλλου, ὅ τί ποτ' ἂν ᾖ· γίνονται γὰρ καὶ ἀλλοιότεροι | ἐν τῷ σκέπτεσθαι κατὰ τὸ φαινόμενον ἢ πρότερον. Τὸ δὲ f. 208
κινεῖσθαι λέγειν τὴν ψυχὴν ἐν τοῖς πάθεσιν ταὐτόν ἐστι τὸ λέγειν τὴν ψυχὴν ὑφαίνειν, ἢ σκυτορραφεῖν, ἢ κιθαρίζειν, ὧν αἰτία μόνον, οὐκ αὐτουργός ἐστιν ἡ ψυχή. Καὶ ὥσπερ ἐν τῇ οἰκοδομήσει ὁ τὴν οἰκοδομικὴν ἔχων ἐνεργεῖ, καὶ οὐχ αὐτὴ ἡ τέχνη, οὕτως οὐδ' ἡ ψυχή ἐστιν ἡ ὀργιζομένη, ἢ μισοῦσα καὶ ἐλεοῦσα, ἀλλὰ τὸ ζῷον αὐτὰ πάσχει, ἢ ἐνεργεῖ. Δυνατὸν δέ ἐστι λέγειν, ὡς ὁ ἄνθρωπος ἐν τοῖς εἰρημένοις πάθεσιν εἴτουν ἐνεργείαις τῇ ψυχῇ κινεῖται, ἀλλ' οὐχ ὡς λέγεται τῇ χειρὶ κινεῖσθαι ὁ ἄνθρωπος ὡς μέρει, ἀλλ' ὥσπερ διὰ τῆς τῶν εἰρημένων παθῶν κινήσεως ἢ εἰς αὐτὴν ληγούσης, ὡς ἐν τῇ ἀντιλήψει τῶν αἰσθητῶν τῆς προσβολῆς αὐτῶν διὰ τῶν αἰσθητηρίων κἀκεῖθεν διὰ τοῦ αἰσθητικοῦ πνεύματος εἰς



Ε.Γ.Δ της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν ψυχὴν ἱεμένης· ἢ ἀπ' αὐτῆς, ὡς ἐπὶ τῆς ἀναμνήσεως, ὅταν ἐκ τῶν τεθησαυρισμένων ἐκ τῆς αἰσθήσεως φαντασμάτων τῇ ἔνδοθεν τούτων ἀνατυπώσει προαγώμεθα καὶ ἱστορεῖν αὐτά, ὡς ἐν αἰσθήσει αὐτὰ ποτὲ προειλήφαμεν, ἐνίοτε καὶ ἐκ μόνης τῆς αὐτῶν ἀναμνήσεως τὰ ἔξω συνδιατιθέμενοι· ἀναμνησθέντες γὰρ παλαιῶν φοβερῶν, δειλαίνοντες εὐθὺς ὠχριῶμεν, καί τινων ὁμοίως αἰσχρῶν, αἰδούμενοι ἐρυθριῶμεν.

Ὅτι ὁ νοῦς ἔοικεν ἐγγίνεσθαι μεθύστερον ἐν τῷ ζῴῳ οὐσία τις ἄφθαρτος· οὐ γὰρ ὡς τὰ συμβεβηκότα ἐγγίνονται. Ὅτι δ' ἄφθαρτος, ἐντεῦθεν δῆλον· ἐφθείρετο γὰρ ἂν ἐν τῷ γήρᾳ τοῦ ζῴου· ἐν τῷ γήρᾳ δὲ πολλάκις καὶ κρείττων γίνεται. Εἰ δὲ καὶ ἔν τισι μαραινόμενος χρόνῳ ἀσθενεῖν καὶ ἐλαττοῦσθαι δοκεῖ, οὐ δι' αὐτόν ἐστι τοῦτο· ἀπαθὴς γάρ ἐστιν αὐτὸς καθ' αὑτόν· ἀλλὰ δι' ἄλλο τοῦτο γίνεται, ὅ τίποτε ἐστὶν ᾧ χρῆται πρὸς τὸ νοεῖν ἀναλόγως ἔχοντι πρὸς αὐτόν, εἴτε πνεῦμα, εἴτε ἄλλο ὁτιοῦν, ὥσπερ καὶ ὀφθαλμὸς ἐν γήρᾳ ἀμβλύς πως οὐ φθορᾷ τινι τοῦ αἰσθητικοῦ πνεύματος· ἀεὶ γὰρ τὸ αὐτό ἐστιν ἀπαθῶς· ἀλλ' ἀτονίᾳ τοῦ ὀργάνου τοῦτο πάσχει. Εἰ γὰρ οἷόν τε ἦν τῷ γέροντι ὀφθαλμὸν ἐνθεῖναι νεωτέρου, ἐνήργει ἂν δι' αὐτοῦ τὸ αἰσθητικὸν πνεῦμα ὡς καὶ ἐν τῷ νέῳ, ὥσπερ καὶ ὑφαιρουμένου τοῦ χρώματος τοῖς παθοῦσιν, ὡσαύτως ἐνεργεῖ τὸ ὀπτικὸν πνεῦμα ὥσπερ καὶ πρὸ τοῦ παθεῖν. Καὶ ἐν τῷ γέροντι δὲ παχυτέρων καὶ στενωτέρων καὶ ξηροτέρων γινομένων τῶν χιτώνων ἢ ὑμένων τοῦ ὀφθαλμοῦ καὶ μὴ διαφανῶν ὄντων, ὡς πρότερον ἀλλ' ἐπιπροσθούντων
f. 208v οὕτω, οὐ δίεισιν οὐδὲ διαπορθμεύεται | ῥᾳδίως τὰ αἰσθητικὰ εἰς τὸ αἰσθητικὸν πνεῦμα, ὡς πρότερον. Τοῦτο δὲ καὶ ἐν ταῖς μέθαις καὶ ταῖς νόσοις συμβαίνει, τῶν αἰσθητηρίων πασχόντων, οἷς τὸ ὀπτικὸν πνεῦμα κέχρηται. Ἀποδείξεις τέσσαρες περὶ πάντων προδηλόταται τοῦ τὰ πάθη καὶ τὰς κατ' αὐτὰ ἐνεργείας τοῦ συναμφοτέρου εἶναι, ὡς εἴρηται, ἤγουν τοῦ σώματος μὲν τοῦ τὴν ψυχὴν ἔχοντος, ἀλλὰ καθὸ τὴν ψυχὴν ἔχει, ὅτι τοῦ σώματος φθειρομένου οὔτε μνημονεύει ἡ ψυχὴ λοιπόν, οὔτε φιλεῖ, τῇ συνθέσει συναπολυομένης καὶ τῆς κοινωνίας, ἐξ ἧς ταῦτα ἦν. Ὁ δὲ νοῦς αὐτὸς θειότερόν τι καὶ ἀπαθὲς καὶ οἷον χωρίζεσθαι τοῦ σώματος καὶ μένειν ἄφθαρτον.

Ἐπὶ τούτοις δείκνυσιν, ὅτι πολὺ ἀτοπώτερον τῶν ἄλλων ἐδόξαζε Ξενοκράτης περὶ ψυχῆς, λέγων ὡς ἡ ψυχὴ ἀριθμός ἐστι κινῶν ἑαυτόν· οὔτε γὰρ ἀριθμός ἐστιν ὅλως, οὔτε κινεῖ ἑαυτὴν ἡ ψυχή, ὡς καὶ πρότερον ἐδείχθη· ἐπὶ πᾶσι δὲ τοῖς ἄλλοις ἀτόποις οὐδὲ χαρακτηριστικός ἐστι τῆς ψυχικῆς οὐσίας ὅρος ὁ τοιοῦτος, οὐδὲ τῶν ἐπ' αὐτῇ συμβεβηκότων δηλωτικός, εἴ τις ἐπιβλέψειε εἰς τὰ πάθη αὐτῆς καὶ τὰς ἐνεργείας. Πῶς γὰρ ἂν εἴη τι τούτων ἀριθμὸς ἑαυτὸν κινῶν; Τοῦτο οὐδὲ μαντεύσασθαι ἂν οἷόν τε γένοιτο, οὕτω γελοῖον καὶ ἄτοπον.

Ἐπὶ τούτοις δείκνυσιν, ὅτι οὐδὲ συνίσταται ἡ ψυχὴ ἐκ τῶν πρώτων

Ε.Υ. Ζήσης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

στοιχείων τῶν ὄντων· δεῖ γὰρ καὶ τοῖς ἐξ αὐτῶν συγκειμένοις συνουσιοῦσθαι αὐτήν, εἰ μέλλοι μὴ τὰ ἁπλᾶ μόνον τῶν ὄντων, ἀλλὰ καὶ πάντα γινώσκειν δι' ὁμοιότητα· καὶ ἐκ πάντων ἔτι ἔσται τῶν δέκα γενῶν, καὶ πολλὰ ἂν εἴη καὶ οὐχ ἕν. Ἔτι, τὸ ἐκ πλειόνων εἶναι διαφόρων οὐ μᾶλλον γνῶσιν αὐτῇ τῶν ὄντων δι' ὁμοιότητα ἐμποιήσει ἢ ἄγνοιαν διὰ τὴν ἐκείνην πρὸς ἄλληλα διαφορὰν καὶ ἀνομοιότητα.

Ἐπὶ τούτοις φησίν, ὅτι οἱ τοιοῦτοι οὐ μόνον οὐδέν τι κοινὸν περὶ πάσης ψυχῆς λέγουσιν, ἀλλ' οὐδὲ περὶ μιᾶς ψυχῆς ὅλης χαρακτηρίζουσιν ἐντελῶς καὶ ὁρίζονται. Οἳ μὲν γὰρ τῷ αἰσθητικῷ μόνῳ εἶπουν γνωστικῷ, οἳ δὲ τῷ κινητικῷ ταύτην εἰδοποιοῦσιν. Ἐν δὲ τοῖς Ὀρφαϊκοῖς ἔπεσιν ἐκ τοῦ παντὸς κόσμου εἰσιέναι αὐτὴν λέγεται τοῖς ἐμψύχοις ἀναπνέουσιν, φερομένην ἔξωθεν ὑπὸ τῶν ἀνέμων, πρὸς τὸ ἀναπνευστικὸν αὐτῆς ἀφορῶντος τοῦ λόγου. Οὔτε δὲ τὰ φυτὰ ἀναπνεῖ, οὔτε τῶν ζώντων ἔνια, καίτοι ψυχὴν ἔχοντα.

Ἐπὶ τούτοις καὶ τὸν Θαλῆν φησὶν οἴεσθαι διὰ πάντων κεκρᾶσθαι τῶν ὄντων τὴν ψυχήν, θεῖόν γε ἀληθῶς οὖσαν, καὶ πᾶσι μεμῖχθαι· ταύτην γὰρ περὶ τοῦ θείου τὴν δόξαν εἶχεν. Ἐλέγχει δὲ αὐτὸν οὐκ ἀληθεύοντα· οὔτε γὰρ πάντα τὰ ὄντα ἔμψυχα, οὔτε | μίαν καὶ τὴν αὐτὴν ψυχὴν τὰ f. 209
ἔμψυχα ἔχουσιν.

Ἐπεὶ δὲ ὁ Τίμαιος, ὡς τῆς ψυχῆς μεριστῆς οὔσης, διανέμει τὰς δυνάμεις αὐτῆς ἰδίοις μορίοις ἑκάστην, τὸ μὲν ἐννοεῖν ἐν τῇ κεφαλῇ τιθείς, τὸ δὲ θυμοῦσθαι ἐν τῇ καρδίᾳ, τὸ δὲ ἐπιθυμεῖν ἐν τῷ ἥπατι, καὶ ταύτῃ τῇ δόξῃ ἀντιλέγων, φησὶν ὡς εἰ μεριστὴ οὕτως ἡ ψυχή, τίποτε ἐστὶ τὸ συνέχον αὐτήν, καὶ μίαν εἶναι τῷ ἀριθμῷ ποιοῦν; οὐ γὰρ δὴ τὸ σῶμα φήσει τις· αὐτὴ γὰρ συνέχει μᾶλλον αὐτό, καὶ δῆλον ὅτι, ἀπολιπούσης αὐτό, διαπαντὸς διαρρεῖ καὶ λύεται σηπόμενον. Εἰ δ' ἄλλο τί ἐστιν, ἢ μεριστόν ἐστι καὶ αὐτό, ὡς συνέχοιτο ἂν μᾶλλον αὐτὸ ὑπὸ τῆς ψυχῆς, ἢ ὑπ' ἄλλου συνεχόμενον ἐπ' ἄπειρον ἂν προΐοι· ἢ ἀμέριστον ὄν, διατί μὴ μᾶλλον αὐτὸ ἂν εἴη ψυχή; Πῶς δὲ καὶ ἔσται ἡ ψυχὴ μεριστή, ὅπου γε τεμνομένου τοῦ φυτοῦ ἕκαστα τῶν τμημάτων τὴν ὅλην ἔχει φυτικὴν ψυχὴν καὶ ὁμοειδές ἐστι τοῖς ἄλλοις τμήμασιν καὶ τῷ πρὶν ὅλῳ φυτῷ. Ὅτι δὲ τὴν θρεπτικὴν καὶ αὐξητικὴν καὶ τοῦ ὁμοίου γεννητικὴν ἕκαστον ἔχει τμῆμα δύναμιν, δῆλον· καὶ τῶν ἐντόμων δὲ ζῴων διαιρουμένων ἑκάτερον τῶν τμημάτων τὰς αὐτὰς ἔχει δυνάμεις τῆς ψυχῆς, ἤτοι τὸ αἰσθάνεσθαι καὶ κινεῖσθαι· εἰ δὲ μὴ ἐπὶ πλεῖστον διαρκεῖ ζῶντα, διὰ τὸ μὴ ἔχειν ὄργανα ὡς πρότερον αὐτάρκως ὑπηρετοῦντα τῇ φύσει τοῦτ' ἔστι: —



Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Sur le livre II.

### Ἐκ τοῦ δευτέρου.

Ὅτι μετὰ τὸ ἐκθέσθαι καὶ διελέγξαι τὰ δεδογμένα τοῖς πρὸ αὐτοῦ περὶ ψυχῆς, νῦν ἐν τῷ δευτέρῳ προτίθεται περὶ πάσης ψυχῆς καθόλου τὸν ἀκριβῆ δοῦναι διορισμὸν αὐτός. Ἡ μὲν οὖν ψυχὴ οὐσία ἐστίν· δέδεικται γὰρ μὴ εἶναι ἄλλου του τῶν ἐννέα γενῶν. Τῆς οὐσίας δὲ τριχῇ λεγομένης, ὡς καὶ ἐν τῇ φυσικῇ εἴρηται· ἔστι γὰρ ἡ ὕλη, καὶ τὸ ἐπ' αὐτῇ γινόμενον εἶδος, καὶ τὸ ἐξ ἀμφοῖν σύνθετον· ἡ μὲν ὕλη δύναμίς ἐστιν ὡς δυνάμει μόνον οὖσα καὶ οὐ τόδε τι ὡρισμένως· τὸ δὲ εἶδός ἐστι τόδε τι ὁρίζον τὴν ὕλην καὶ εἰδοποιοῦν, ἐξ ὧν τὸ σύνθετον, τόδε τι καὶ αὐτὸ ὂν διὰ τὸ εἶδος. Διὸ καὶ τὸ εἶδος ἐντελέχεια καλεῖται, καθ' ὃ δηλονότι ἡ ὕλη ἔχει τὴν τελειότητα, ἢ ὡς ἐντελὴς ἕξις τοῦ συνθέτου· ἐντελέχεια δὲ ἡ μέν ἐστιν ὡς ἕξις, ἡ δὲ ὡς ἐνέργεια, οἷον ἕξις μέν, ὡς ἐπιστήμη· ἐνέργεια δέ, ὡς τὸ θεωρεῖν. Μάλιστα δὲ δοκοῦσιν εἶναι οὐσίαι τὰ σώματα τὰ φυσικά, ἃ καὶ ἀρχαί εἰσι τῶν ἄλλων, τῶν τε μαθηματικῶν δηλονότι καὶ τεχνητῶν. Οἱ γὰρ Πυθαγόρειοι καὶ τὰ μαθηματικὰ οὐσίας
f. 209v ἐκάλουν. Τῶν δὲ φυσικῶν | τὰ μὲν ἔχει ζωήν, τὰ δ' οὐκ ἔχει. Ἔχοντα δὲ ζωήν εἰσιν ὅσα ἀφ' ἑαυτῶν δύναμιν [ἔχει] κινήσεως θρεπτικῆς καὶ αὐξητικῆς, πάντως δὲ καὶ τοῦ ἐναντίου, τοῦ φθίνειν, οὐχ ὅτι πάντα τὰ ζωὴν ἔχοντα ταύτας μόνας ἔχει τὰς δυνάμεις· ἔνια γὰρ καὶ αἰσθητικὴν ἔχουσιν ὑπὲρ ταύτας, καὶ αὖ ἕτερα καὶ λογικὴν ὑπὲρ πάσας· ἀλλ' ὅτι καὶ τὰ μείζους ἔχοντα δυνάμεις τοῦ ζῆν πρώτας ἐκείνας ἔχουσιν, καὶ εἴ τι μὴ ταύτας ἔχει τὰς δυνάμεις, ἢ μόνας, ἢ πρὸ τῶν ἄλλων, οὐδόλως ἐστὶν ἔμψυχον. Πᾶν ἄρα φυσικὸν σῶμα μετέχον ζωῆς οὐσία ἂν εἴη, ὡς ἡ ἐξ ἀμφοῖν δηλονότι συγκειμένη ὕλης τε καὶ εἴδους. Ἡ δὲ ψυχή, οὔτε τὸ σύνθετον οὖσα, οὔτε ἡ ὕλη, ἡ κατὰ τὸ εἶδος οὐσία λείπεται εἶναι. Καὶ ἔστιν ἡ ψυχὴ ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος, ἐντελέχεια μέν, ὡς εἶδος· φυσικοῦ δέ, ὅτι οὐ τεχνητοῦ καὶ δυναμένου ζωὴν ἔχειν, ὅτι οὔ τινος τῶν ἁπλῶν σωμάτων, ἢ τῶν συνθέτων μέν, μὴ ἐχόντων δὲ ζωήν, ὡς λίθου καὶ σιδήρου, οὐδέ τινος τῶν νεκρῶν. Ἐντελέχεια δέ ἐστιν ἡ ψυχή, ὡς ἡ πρώτη, οἷον ὡς ἡ ἕξις· τὰ γὰρ ζῷα καὶ ὑπνώττοντα καὶ γρηγοροῦντα ἔμψυχά εἰσιν· ἔοικε δὲ τὸ μὲν ὑπνώττειν τῇ ἀνενεργήτῳ ἕξει ἤτοι τῇ ἐπιστήμῃ, τὸ δὲ γρηγορεῖν τῇ ἐνεργείᾳ τῆς ἕξεως ἤτοι τῷ θεωρεῖν. Ὀργανικοῦ δὲ πρόσκειται ἤτοι ὀργάνοις χρωμένου ὑπηρετοῦσι ταῖς τῆς ψυχῆς ἐνεργείαις· τά τε γὰρ ζῷα ὀργανικοῖς σύνεστι σώμασι, καὶ τὰ φυτά, εἰ καὶ ἁπλουστέροις τῶν ἐν τοῖς ζῴοις· ἐν γὰρ τοῖς ζῴοις ἔνια τῶν ὀργάνων, ἀνομοιομερῆ ὄντα, ἐκ διαφόρων ὁμοιομεριῶν συνέστηκεν, οἷον ἡ χεὶρ ἐκ σαρκῶν, νεύρων, ὀστῶν καὶ τῶν ἄλλων· τὰ δὲ τῶν φυτῶν ἁπλούστερα, φύλλα τε εἰς φυλακὴν τῶν

Ε.Υ.Δ. της κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

περικαρπίων, καὶ αὐτὰ αὖ εἰς φυλακὴν τῶν καρπῶν, καὶ αἱ ῥίζαι τῆς θρεπτικῆς ἐνεργείας ἕνεκεν δι' αὐτῶν ἐνεργούσης, ὥσπερ εἰσὶν ἐν τοῖς ζῴοις τὰ στόματα.

Ὅτι κατὰ τὴν φυσικὴν ἐπιτηδειότητα τοῦ σώματος ἐπιγίνεται ἡ ψυχή, ἀκολούθως ὡς ἐντελέχεια, ὥσπερ ἄρα τῷ κηρῷ τὸ σφαιρικὸν σχῆμα πρὸς τοῦτο εὐφυῶς ἔχοντι· καὶ ἓν ἐκ ψυχῆς καὶ σώματος γίνεται ὡς ἐξ ὕλης καὶ εἴδους. Καὶ πολλαχῶς λεγομένου τοῦ ἑνός, ὡς ἐν τοῖς Μετὰ τὰ φυσικά, καὶ τοῦ εἶναι, τὸ ἐκ ψυχῆς καὶ σώματος σύνθετον, ἤτοι ἐκ τῆς ὕλης καὶ τοῦ οὗ ἐστιν ὕλη ἤτοι τοῦ εἴδους, τοῦτο μάλιστα καὶ ἔστι καὶ ἕν ἐστιν. Καὶ ἡ ψυχὴ ὁ λόγος ἐστὶ καὶ τὸ εἶδος τοῦ ὡσί πως ἔχοντος φυσικοῦ σώματος. Εἴπερ γὰρ ὁ πέλεκυς φυσικὸν ἦν σῶμα καὶ δυνάμει ζωὴν ἔχων, ἦν μὲν ἂν ὁ σίδηρος ἡ ὕλη· τὸ δὲ εἶναι | πέλεκυν, ἤτοι τὸ f. 210
εἶδος, ἦν ἂν ἡ ψυχή· τὸ δὲ ἐξ ἀμφοῖν σύνθετον ὁ πέλεκυς, τὸ ἔμψυχον ἢ τὸ ζῷον. Νῦν δὲ ὁ σίδηρος ἐν τῷ πελέκει οὐ δυνάμει ζωὴν ἔχει· διὰ τοῦτο οὐδὲ ψυχή ἐστι τὸ τοῦ πελέκεος εἶδος· οὐ γὰρ τοῦ ἁπλῶς σώματος ἡ ἐντελέχεια ψυχή ἐστιν, ἀλλὰ τοῦ τοιοῦδε, τοῦ δυνάμει ζωὴν ἔχοντος. Καὶ ἔχον μὲν τὴν ἐντελέχειαν, ἔμψυχόν ἐστιν, παρελθούσης δέ, οὐκ ἔστιν ἔμψυχον, ὥσπερ καὶ ὁ ἐν τῷ πελέκει σίδηρος μόνος, λειφθεὶς τοῦ εἴδους διαλυθέντος, οὐκ ἂν εἴη πέλεκυς λοιπόν, ἀλλ' ἢ ὁμωνύμως· ὥσπερ ὁ Σωκράτης τεθνηκὼς οὔτε Σωκράτης ἐστίν, οὔτε ἄνθρωπος, οὔτε λέγεται ἀλλ' ἢ ὁμωνύμως μόνον· καὶ ὀφθαλμός ἐστι καὶ λέγεται, ἕως ἂν ἡ ὄψις ἐν τῇ κόρῃ ᾖ καὶ τῇ ἄλλῃ ὕλῃ αὐτοῦ· Τὸ δὲ σῶμα μόνον ἄνευ τῆς ὄψεως, εἰ φθαρείη αὕτη, ὁμωνύμως ἂν οὕτω καλοῖτο, καὶ οὐ κυρίως, ὡς ὁ τοῦ λιθίνου εἰδώλου ἢ τοῦ γεγραμμένου ζῴου.

Ὅτι ἔνια μόρια τῆς ψυχῆς εἴτουν δυνάμεις, ἐντελέχειαι ὄντα μορίων σωματικῶν, οὐ χωρίζονται αὐτῶν, ὡς ἡ θρεπτικὴ καὶ αὐξητικὴ καὶ αἰσθητική· ἡ γὰρ ὀπτικὴ δύναμις ἀχώριστος τοῦ ὀφθαλμοῦ, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Ἔνιαι δὲ δυνάμεις αὐτῆς τῆς ψυχῆς κεχωρισμέναι εἰσὶν ὡς μὴ οὖσαι ἐντελέχειαι ὀργάνων σωματικῶν, οἷον ὁ νοῦς τίνος ἂν εἴη σωματικοῦ ἐντελέχεια, οὐδενὶ τούτων συνδεδεμένος; Εἰ μή τις καὶ ταῦτα λέγοι ἐντελεχείας, ὡς τὸν πλωτῆρα τοῦ πλοίου κεχωρισμένον μὲν ὄντα φύσει τοῦ πλοίου, ᾗ δὲ πλωτήρ ἐστιν, ἀχώριστον ὄντα αὐτοῦ καὶ ἐντελέχειάν πως αὐτοῦ· οὐ γάρ ἐστιν αὐτὸ ἐνεργείᾳ πλοῖον εἶναι πλωτῆρος ἄνευ. Τούτοις πρόσκεινται τινὰ ἐν τῇ φυσικῇ ἀκροάσει εἰρημένα περὶ τῆς εἰς τὴν γνῶσιν ὁδοῦ καὶ περὶ τῶν ἡμῖν ἢ τῇ φύσει γνωριμωτέρων, ἢ ἀδηλοτέρων, ὁμοίως καὶ περὶ τῆς τῶν ὁρισμῶν διαφορᾶς, ἣν καὶ ἐνταῦθα καὶ ἄλλοθι δεδήλωκεν, ὅτι ἀκριβέστερός ἐστιν ὁρισμὸς ἢ συλλογισμὸς ὁ τὸ διότι ἔχων καὶ τὸ αἴτιον δηλῶν.

Ὅτι τὸ ἔμψυχον τοῦ ἀψύχου διαστέλλεται τῷ ζῆν· τοῦτο δὲ πολλαχῶς. Ἔστι γὰρ καὶ κατὰ νοῦν, ὡς ἔχει τὰ λογικὰ ζῷα· καὶ κατ' αἴσθησιν,

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ᾧς πάντα τὰ ζῷα ἁπλῶς· καὶ κατὰ τὸ κινεῖσθαι καὶ ἵστασθαι κατὰ τόπον, ὡς ἔχει τὰ κινούμενα μόνα. Ἔνια γὰρ ζῶντα καὶ αἰσθανόμενα τῇ ἁφῇ ἀκινητεῖ καὶ ἐφ' ἑνὸς πέπηγε τόπου, ὡς τὰ ζωόφυτα· καὶ κατὰ τὸ τρέφεσθαι καὶ αὔξειν καὶ φθίνειν μόνον, ὡς τὰ φυτά. Τά τε οὖν πᾶσι τούτοις τοῖς τρόποις ζῶντα ἔμψυχα λέγεται καὶ ψυχὴν ἔχειν καὶ τὰ
f. 210v καθ' ἕνα τρόπον μόνον, | οἷον τὰ τὴν θρεπτικὴν ἔχοντα ψυχήν, ὡς τὰ φυτά. Καὶ πρῶτα ἔμψυχα τὰ φυτὰ ὡς οἴκοθεν καὶ μόνην τὴν πρώτην ψυχὴν ἔχοντα, ἥ τὸ θρεπτικὸν καὶ αὐξητικὸν ἔνεστιν· τὰ γὰρ ἄλλως ζῶντα ταῖς ὑψηλοτέραις ψυχαῖς οὐ δύναται ζῆν ταύτης χωρίς· φημὶ δὲ τὰ θνητά. Τὰ γὰρ θεῖα καὶ νοερὰ ταύτης οὐ δέονται. Διὸ καὶ ἔοικεν ἡ φυτικὴ ψυχὴ τοῦ ζῆν εἶναι ἀρχὴ τοῖς θνητοῖς πᾶσιν ἐμψύχοις, ὥσπερ καὶ κοινὴ τοῖς ζῴοις αἴσθησις ἡ ἁφή· πάντα τε γὰρ ταύτῃ χρῶνται τὰ ζῷα, καὶ ἔνια μόνῃ ταύτῃ χρῶνται καὶ ζῶσιν. Καθόλου τοίνυν ἡ ψυχὴ τούτοις ὥρισται· τῷ διανοητικῷ, τῷ αἰσθητικῷ μετὰ κινήσεως, τῷ ἁπλῶς αἰσθητικῷ καὶ τῷ θρεπτικῷ εἴτουν φυτικῷ. Καὶ ὅτι μὲν οὐ διάφοροι ταῦτα ψυχαί, ἀλλὰ δυνάμεις διάφοροι μιᾶς ψυχῆς, ἐν ᾗ εἰσι πᾶσαι, δέδεικται πρότερον· κεχωρισμένα τε ἀλλήλων οὐ τῷ τόπῳ εἰσίν, ἀλλὰ τῷ λόγῳ μόνῳ, πλὴν ἐπ' ἐνίων· δοκεῖ γὰρ ἐν τοῖς ὀφθαλμοῖς εἶναι τὸ ὀπτικόν, καὶ ἐν ῥινὶ τὸ ὀσφραντικόν, καὶ ἐν ἄλλοις μορίοις τοῦ σώματος διάφοροι τῆς αἰσθητικῆς ψυχῆς δυνάμεις. Ὁ δὲ νοῦς χωριστὸς εἴρηται εἶναι τοῦ σώματος καὶ τῶν σωματικῶν μορίων· εἰ δὲ χωριστός, καὶ ἄφθαρτος καὶ τῶν ἄλλων δυνάμεων διαφέρων, ὡς τὰ ἀΐδια τῶν φθαρτῶν.

Ὅτι ὥσπερ λέγομεν ἐπίστασθαι τῇ ἐπιστήμῃ καὶ τῇ ψυχῇ, καὶ ὑγιαίνειν τῇ ὑγείᾳ καὶ τῷ σώματι, ἢ μέρει τινὶ τοῦ σώματος, ὀφθαλμῷ τυχόν, οὕτω καὶ ἐπίστασθαι λεγόμεθα τῇ ψυχῇ καὶ τῷ ἐμψύχῳ σώματι, τῇ μὲν ὡς εἴδει καὶ ἐντελεχείᾳ ἐνεργούσῃ, τῷ δὲ ὡς ὑποκειμένῳ καὶ ἐνεργουμένῳ. Ἔστι δέ, ὡς εἴρηται, ἡ ψυχὴ εἶδος καὶ ἐντελέχεια σώματος, οὐ παντός, ἀλλὰ τοῦ πεφυκότος καὶ δεκτικοῦ. Καὶ πᾶν γὰρ εἶδος οὕτως ἔχει, ὅτι ἐν τῷ πεφυκότι ἐστίν· οὐ γὰρ ἐν τῇ ὀσφρήσει τὸ λευκὸν καὶ τὸ μέλαν, οὐδὲ ἐν τῇ γεύσει οἱ ψόφοι, οὐδ' ἐν τῇ ἀκοῇ τὸ γλυκὺ καὶ πικρόν.

Ὅτι τῷ αἰσθητικῷ καὶ τὸ ὀρεκτικὸν σύνεστιν· διαιρεῖται δὲ εἰς ἐπιθυμίαν, θυμὸν καὶ βούλησιν· καὶ τοῖς μὲν ἀνθρώποις πρόσεστι καὶ τὰ τρία· τοῖς δὲ ἄλλοις ζῴοις θυμὸς καὶ ἐπιθυμία μόνον· τοῖς δὲ ἧττον αἰσθανομένοις ἡ ἐπιθυμία μόνον. Ἔνθα δὲ αἴσθησις καὶ ὄρεξις, καὶ τὸ ἥδεσθαι ἢ ἀνιᾶσθαι, καὶ τὸ ἐπιθυμεῖν τῶν ἡδέων, τὰ δὲ ἀνιαρὰ ἀποτρέπεσθαι. Ἡ δὲ ἁφή, ὡς εἴρηται, κοινότερον τῆς αἰσθήσεως· καὶ τοῖς ζωοφύτοις γὰρ πρόσεστιν, οὐ τοῖς ζῴοις μόνοις. Τῇ δὲ ἁφῇ συνεπακολουθεῖ ἡ ὄρεξις. Ἐνίοις δὲ τῶν ἁφὴν ἐχόντων καὶ τὸ κατὰ τόπον
f. 211 κι|νητικὸν ἐπακολουθεῖ· οὐ γὰρ τοῖς ζωοφύτοις· ὥσπερ ἄλλοις αὖθις καὶ τὸ διανοητικὸν ἐπὶ τούτῳ, τοῖς ἀνθρώποις δηλονότι.

ΑΝΤΙΓΡΑΦΗ ... ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ
Ε.Υ.Δ της Γ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006